ἀλλ' ἦν κάκιστος. εἶτα τοιοῦτος γεγὼς,
τοὺς Ἡρακλείους ἦλθε δουλώσων γόνους.
Ὕλλος μὲν οὖν ἀπῴχετ' εἰς τάξιν πάλιν.
μάντεις δ' ἐπειδὴ μονομάχου δι' ἀσπίδος
διαλλαγὰς ἔγνωσαν οὐ τελουμένας,
ἔσφαζον, οὐκ ἔμελλον, ἀλλ' ἀφίεσαν
λαιμῶν βροτείων εὐθὺς οὔριον φόνον.
οἱ δ' ἅρματ' εἰσέβαινον, οἱ δ' ὑπ' ἀσπίδων
πλευροῖς ἔκρυπτον πλευρ'. Ἀθηναίων δ' ἄναξ
στρατῷ παρήγγειλ', οἷα χρὴ τὸν εὐγενῆ,
Ὦ ξυμπολῖται, τῇ τε βοσκούσῃ χθονὶ,
καὶ τῇ τεκούσῃ, νῦν τιν' ἀρκέσαι χρεών.—
ὁ δ' αὖ τό τ' Ἄργος μὴ καταισχῦναι θέλων,
καὶ τὰς Μυκήνας, ξυμμάχους ἐλίσσετο.
ἐπεὶ δ' ἐσήμην' ὄρθιον Τυρσηνικῇ
σάλπιγγι, καὶ ξυνῆψαν ἀλλήλοις μάχην,
πόσον τίν' αὐχεῖς πάταγον ἀσπίδων βρέμειν,
πόσον † τιναγμὸν, οἰμωγήν θ' ὁμοῦ;
τὰ πρῶτα μέν νυν πίτυλος Ἀργείου δορὸς
ἐρρήξαθ' ἡμᾶς, εἶτ' ἐχώρησαν πάλιν.
τὸ δεύτερον δὲ, ποὺς ἐπαλλαχθεὶς ποδὶ,
ἀνὴρ δ' ἐπ' ἀνδρὶ στὰς, ἐκαρτέρει μάχῃ.
πολλοὶ δ' ἔπιπτον. ἦν δὲ τοῦ κελεύσματος,
Ὦ τὰς Ἀθήνας, ὦ τὸν Ἀργείων γύην
σπείροντες, οὐκ ἀρήξετ' αἰσχύνην πόλει;—
μόλις δὲ, πάντα δρῶντες, οὐκ ἄτερ πόνων,

823. οἱδ' bis
824. πλευραῖς ἔκρυπτον
828. ὅδ' αὐτὸ τἄργος μὴ καται-σχύναι θέλων,
829. συμμάχους
830. ἐσήμην'
831. συνῆψαν
833. πόσον τινὰ τιναγμὸν,
834. τὰ πρῶτα μὲν νῦν
837. ἐκαρτέρει μάχῃ.